φ̄ *N*[5]) *Δυνάστης· παρὰ τὸ δυνάζω, ὁ μέλλων δυνάσω, δεδύνακα δεδύνασμαι δεδύνασαι δεδύνασται καὶ ἐξ αὐτοῦ δυνάστης· καὶ κλίνεται δυνάστου.* Im Etymol. parvum stehen für *δεδύνακα* die Worte *ὁ παθητικὸς παρακείμενος* und fehlt das letzte Sätzchen, welches der Quelle *N* entstammt.

φ̄. *Ἀχλύς· παρὰ τὸ τὰς ὄψεις ἡμῶν λυπεῖν καὶ ὀχλεῖν· ἄχος γὰρ ἡ λύπη.* Das letzte Sätzchen fehlt im Parvum (vgl. Orion 19, 15).

φ̄ *Δροσούμενοι· ἐστὶ δρόσος καὶ ἐξ αὐτοῦ γίνεται δροσίζω καὶ δροσῶ, δροσήσω, καὶ τὸ παθητικὸν ⟨δροσοῦμαι, ἡ μετοχὴ⟩ δροσούμενοι.* Ergänzt aus dem Parvum, *δροσήσει* und *ὁ παθητικός* d.

φ̄[6]) *Οὗτος· ἀντωνυμία μονοπρόσωπος· τέσσαρες γάρ*

1) Sigle d^1. 2) Hierzu andere Hand *ἐστὶ δὲ ὄνομα τριγενές· τὰ κύκλα* [*δὲ*] *ἡ εὐθεῖα τῶν . . των οὐδετέρων*; über der Zeile wieder andere Hand *παρὰ τὸ κυλίω κύλος καὶ κύκλος.* 3) Für mich kopiert von Herrn Dr. M. Consbruch. 4) Siglen von d^1 oder d^2. 5) *N* vielleicht von erster Hand unmittelbar vor dem Lemma, φ̄ von anderer Hand am Rand. 6) Sigle d^1 oder d^2. Die Glosse ist im Etym. parvum fast verloschen; nur die gesperrt

εἰσιν μονοπρόσωποι ἀντωνυμίαι, οὗτος, αὐτός, ἐκεῖνος καὶ ὅδε καὶ ὁ δεῖνα κατὰ παραγωγήν, τὸ δὲ δεικτικὸν οὑτοσί· τὸ γὰρ οὑτοσί, ἐκεινοσί καὶ[1]) *ὁδί γίνονται κατὰ ἐπέκτασιν τοῦ ῑ πρὸς ἐμφανισμὸν πλείονος δείξεως, ἡ δὲ αὐτός στερηθεῖσα τῆς δείξεως ἐστερήθη καὶ τῆς διὰ τοῦ ῑ ἐπεκτάσεως. οὗτος*[2]), *ἡ κλητικὴ ὦ οὗτος Ἀττικῶς. ὁμοίως καὶ τὸ ἐκεῖνος, ἡ δὲ αὐτός κλητικὴν οὐκ ἔχει. ἡ γὰρ*[3]) *οὗτος καὶ ἐκεῖνος ἀντωνυμίαι δεικτικαί εἰσιν, ἡ δὲ αὐτός ἀναφορὰν δηλοῖ, ἐναντία δέ ἐστιν ἡ δεῖξις τῇ ἀναφορᾷ.*

φ̄[4]) *Λελουμένη· ἐστὶ λύω, πλεονασμῷ τοῦ ο̄ λούω, λούσω, ὁ παθητικὸς παρακείμενος λέλουμαι καὶ ἡ μετοχὴ λελουμένος.* Vgl. Parvum *Λελουμένη· παρὰ τὸ λούω* (so), *τὸ καθαίρω, καὶ πλεονασμῷ τοῦ ο̄ λούω, ὁ μέλλων λούσω, ὁ παθητικὸς παρακείμενος λέλουμαι καὶ ἡ μετοχὴ λελουμένος.*

☧ φ̄[5]) *Μολῶ· τὸ παραγίνομαι. ἢ παρὰ τὸ μέλω, τὸ φροντίζω, γίνεται μολῶ.* ‖ *ἢ παρὰ τὸ πονῶ πολῶ, τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον καὶ τοῦ π̄ εἰς μ̄ μολῶ. εἰς ὃν γάρ τις τόπον οἰκεῖ, ἐκεῖ καὶ μολεῖ.* Vgl. Parvum *Μολῶ· παρὰ τὸ πολιῶ* (so) *γίνεται πολῶ καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον γίνεται μολῶ.* Erster Teil aus Epim. An. Ox. II 392, 16.

☧ φ̄[6]) *Νομή· ἐκ τοῦ νέμω νομή, καὶ σημαίνει τὴν τροφήν. γίνεται παρὰ τὸ νέμω, τὸ βόσκω, νομή. ὀξύνεται. τὰ εἰς μ̄ λήγοντα ἰαμβικὰ παραληγόμενα τὸ ο̄ ὀξύνονται, ὁπότε προϋπάρχει ῥῆμα διὰ τοῦ ε̄ κατὰ τὴν παραλήγουσαν, οἷον νομή, ἀνατολή, ἀνατομή. τὸ μέντοι Εὐρυνόμη καὶ Ἀντινόμη βαρύνεται.* Vgl. Parvum *Νομή· παρὰ τὸ νέμω νομή, σημαίνει δὲ τὴν τροφήν. ὀξύνεται. τὰ εἰς μ̄η̄ λήγοντα ἰαμβικὰ παραληγόμενα τὸ ο̄ ἔχοντα ῥήματα ἀντιπαρακείμενα διὰ τοῦ ε̄ ὀξύνονται, οἷον νομή, ἀνατολή, ἀνατομή. τὸ μέντοι Εὐν[ό]μη καὶ Ἀμφινόμη βαρύνεται.* Hier ist der mit ☧ bezeichnete Teil mit Photios zusammengearbeitet. Jenem gehören die Worte *παρὰ τὸ νέμω, τὸ βόσκω, νομή* und *ὁπότε προϋπάρχει ῥῆμα διὰ τοῦ ε̄ κατὰ τὴν παραλήγουσαν.* In denselben Epimerismen, die, wie schon bemerkt, oft mit den mit ☧ bezeichneten Glossen übereinstimmen, An. Ox. II 394, 26 findet sich *Νομήν· τὴν τροφήν· παρὰ τὸ νέμω, τὸ βόσκω. ὀξύνεται. τὰ εἰς μ̄η̄ καθαρὸν ἰαμβικὰ τὸ ο̄ παραληγόμενα ὀξύνονται, ὁπότε προϋπάρχει ῥῆμα διὰ τοῦ ε̄ κατὰ τὴν παρα-*

---

gedruckten Silben hat Dr. Consbruch gelesen, doch stimmen die Zwischenräume zu den durch das Gudianum gebotenen Ergänzungen.

1) *τὸ γὰρ οὑτοσί* und *καὶ* fehlen im Parvum. 2) *οὕτως καὶ* d. 3) *γὰρ*] *δὲ* d verloschen Parv. 4) Aus a c. 5) Aus c. 6) Aus a.

λήγουσαν, οἷον νομή, ἀνατομή, προνομή. τὸ μέντοι Εὐρυνόμη καὶ Ἀμφινόμη βαρύνονται. Zwei Fassungen desselben κανών sind im Gudianum vermischt.

Das Etymol. parvum ist in Cod. *B* unmittelbar mit dem Genuinum verbunden; der Annahme, dafs es auch in Cod. *A* dieselbe Stellung einnahm, steht nichts entgegen; also wird nicht das einzelne Werk, sondern die Urhandschrift, auf welche *AB* zurückgehen, im Gudianum unter dem Namen des Photios citiert. Dann müssen also die mit ∯ bezeichneten Glossen der Buchstaben *O*—*Ω*, soweit sie im Genuinum fehlen, von der weiteren Untersuchung ausgeschlossen werden. Sie könnten sämtlich in den verlorenen Teilen des Parvum gestanden haben. Es sind dies die Glossen:

∯ Ὄλισθος· σημαίνει τὸν συμποδισμόν· γίνεται δὲ παρὰ τὸ ὅλως ἵεσθαι, ὅ ἐστιν πορεύεσθαι, ἢ παρὰ τὸ ὅλως θέειν, κατ' ἀντίφρασιν.[1])

∯ Ὁρῶ· παρὰ τὸ χέω χορῶ καὶ κατὰ ἀποβολὴν τοῦ χ ὁρῶ· καὶ τί μετέχει; χεόμενον γὰρ τὸ ὀπτικὸν πνεῦμα τὴν ὅρασιν ἀποτελεῖ. δασύνεται. ἀναχωρήσαντος οὖν τοῦ χ̄ ἔμεινεν ἡ ἀναλογοῦσα τῷ χ̄ δασεῖα. ἢ ὅτι τὸ ο πρὸ τοῦ ρ̄ ψιλοῦται, ὀρέγω Ὀρέστης, πλὴν τοῦ ὁρῶ ὁρᾷς καὶ ὅρος ἀρσενικῶς καὶ ὁρίζω.

∯ Παλαιόν· παρὰ τὸ ἐκ πάλαι εἶναι [(ἢ διὰ τὸ παλαιῶν)] ἤγουν ἐκ χρόνων πολλῶν εἶναι.

∯[2]) Παμπήδην· ὥσπερ χύδην μάτην· σημαίνει δὲ τὸ παντελῶς.

∯ Πέλω· πρωτότυπον· ὁ μέλλων πελήσω, καὶ ἐξ αὐτοῦ πόλος ὁ οὐρανός· σημαίνει καὶ τὸ γίνεσθαι. καὶ εἰς τὸ Πελεκάν καὶ Ποικίλος καὶ Πολλά καὶ Χήρα.

∯[3]) Πλάστης· παρὰ τὸ πλάσσω, τὸ ταῖς χερσὶ κατασκευάζω, πλάσω πέπλασμαι πέπλασται πλάστης· καὶ σημαίνει τὸν δημιουργόν.

∯[4]) Πλέκω· ἐκ τοῦ πέλκω. τοῦτο παρὰ τὸ ἕλκω· καὶ γὰρ ἐν τῷ πλέκειν σύρομεν· καὶ ἐν ὑπερβιβασμῷ πλέκω.

∯[5]) Πρῶτα (τὰ πρῶτα d²)· ἐπίρρημα χρόνου δηλωτικὸν μεταχθὲν ἀπὸ τοῦ οὐδετέρου. ἰστέον ὅτι τὰ ἐπιρρήματα μεταγόμενα ἀπὸ οὐδετέρων τὸν αὐτὸν τόνον φυλάττειν θέλουσιν, ὡς τὸ σάφα παρὰ τὸ

1) Auf der letzten, verloschenen Seite des Etym. parvum ist von einer ähnlich langen Glosse Ὄλισθος wenigstens das Lemma noch lesbar.

2) Die Sigle und der Anfang der Glosse sind in d verloschen, in a c erhalten; b stellt die Sigle irrtümlich vor die in a b c vorausgehende Glosse *Πάμπαν*, welche in d zwischen den Zeilen steht und eine Autorenangabe nicht gehabt haben kann.

3) u. 4) Sigle und Text von derselben Hand am Rand.

5) Sigle d¹ oder d².

σαφέα συγκοπῇ τοῦ ε̄ καὶ ⟨παρὰ⟩ τὸ ὠκέα τὸ ὦκα· σεσημείωται κατὰ τὸν τόνον τὸ σφόδρα, ⟨ὅτι⟩ τοῦ ὀνόματος ὀξυνομένου τὸ ἐπίρρημα βαρύνεται.

$\mathfrak{F}$[1]) Πτυχία· εἰς τὸ Πυγμή.

$\mathfrak{F}$[2]) Σθένος· παρὰ τὸ σθένω ῥῆμα, τὸ δύναμαι· „ῥητρεύειν οὐ σθένεις" (σθένει σε d).

$\mathfrak{F}$ Τόκος· παρὰ τὸ τεκεῖν τῷ διδόντι (διδοῦντι d).

$\mathfrak{F}$ Τρανός· [(παρὰ τὸ)] στερρός· μακρὸν[3]) τὸ ᾱ. τὰ εἰς ο̅σ̅ ὀξύτονα δισύλλαβα τὸ ᾱ παραληγόμενα. . .

$\mathfrak{F}$ Τρίβος· ἐκ τοῦ τρίβω· ἡ ὁδός.

$\mathfrak{F}$[4]) Υἷας· ὄνομα αἰτιατικὸν τῶν πληθυντικῶν· ἡ εὐθεῖα υἷες· καὶ συναιρέσει; οὐ συναιρεῖται. διὰ τί; ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι οὐδέποτε τῇ υ̅ι̅ διφθόγγῳ τῇ μετὰ τοῦ ῡ ψιλοῦ καὶ ῑ προσγεγραμμένου σύμφωνον ἐπάγεται· διὰ τοῦτο οὐ συναιρεῖται. ἡ γενικὴ υἷιος καὶ συναιρέσει υἷος· ἡ υἷος ἐκ τῆς υἷιος· καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν υἷες Ἀχαιῶν καὶ ἡ αἰτιατικὴ υἷας „υἷας συνελκύσαιτε τῇ σῇ βαπτίσει". λοιπὸν ὡς κήρυξ κήρυκος κηρύκου, οὕτως ἀπὸ τῆς γενικῆς γίνεται υἱός. παρὰ τὸ φύω, τὸ γεννῶ, φυιός καὶ υἱός.

$\mathfrak{F}$[5]) Ὕδωρ· παρὰ τὸ ὕω, τὸ βρέχω (die Hand, welche die Sigle hinzugesetzt hat, d^1 oder d^2, fügt nachträglich πλεονασμῷ τοῦ δ ὕωρ καὶ ὕδωρ bei).

$\mathfrak{F}$[6]) Φλοιδούμενος· ἐκ τοῦ φλοῖσβος, τοῦ σημαίνοντος τὸν καχλασμὸν τοῦ πυρός, ἀντὶ τοῦ φλογιζόμενος.

$\mathfrak{F}$[7]) Φωλεός[8]) ὁ κανών· τὰ εἰς ο̅σ̅ καθαρὸν ἀρσενικὰ ὀξύτονα τῷ ε̄ παραλήγεται, φατεός, ἐρινεός, ἡ συκῆ, στερεός· σημειωτέον τὸ κραταιός· οὕτω καὶ φωλεός.

$\mathfrak{F}$[9]) Χεῖρες· διὰ τὸ χεῖσθαι ῥᾷον· καὶ διὰ ⟨τὸ⟩ τὴν χρείαν ὑπουργεῖν.

$\mathfrak{F}$[10]) Ὥμοισι· πᾶσα εὐθεῖα πληθυντικῶν, ἀρσενικῶν τε καὶ θηλυκῶν, εἰς φωνῆεν λήγουσα προσθέσει τῆς σ̅ι̅ συλλαβῆς ποιεῖ τὴν δοτικὴν τῶν πληθυντικῶν, Ἀτρεῖδαι Ἀτρείδαισι.

Gewifs ist es sehr unwahrscheinlich, dafs alle diese Glossen in dem verlorenen Schlufs des Etym. parvum gestanden haben. Aber für keine läfst sich erweisen, dafs sie einst in dem Genuinum gestanden haben mufs.

1) u. 4) Sigle d^1. 2) 5) 7) u. 10) Sigle d^1 oder d^2. 3) μακρὸν] μετὰ d. 6) u. 9) Sigle und Lemma von derselben Hand am Rand.

8) Zu Anfang ist eine halbe Zeile ausradiert, über welcher eine andere Hand διὰ τοῦ ῑ ψιλοῦ schrieb, σημειωτέον ist zu σ̆ abgekürzt und dies in den Apographa zu ὃ σημαίνει aufgelöst. Zum Schlufs fügt d^2 καὶ εἰς τὸ Θείνω am Rand hinzu.

Ebensowenig wage ich aus denjenigen Glossen Schlüsse zu ziehen, in welchen die Sigle ℘ mit einer anderen verbunden erscheint und welchen ein Abschnitt des Genuinum noch in irgend einer Kleinigkeit entspricht. Ich rechne hierzu:

Φ ☧ *Γ*[1]) *Ἀνάπλασις· παρὰ τὴν ἀνά πρόθεσιν καὶ τὸ πλάσσω, τὸ ποιῶ, ὁ μέλλων πλάσω. ὤφειλεν οὖν εἶναι διὰ τοῦ ξ ὁ μέλλων. εἰ γὰρ* (*δὲ* d) *διὰ δύο σ̅σ̅ εἴη ὁ ἐνεστώς, ἀεὶ ὁ μέλλων διὰ τοῦ ξ, πλὴν τοῦ πλάσσω, τὸ ποιῶ, καὶ τὰ ἑξῆς.* Vgl. im Gen. z. B. in Glosse *Διήρεσα* die Worte *τὰ γὰρ διὰ δύο σ̅σ̅ ἐκφερόμενα κατὰ τὸν ἐνεστῶτα διὰ τοῦ ξ ἐκφέρονται κατὰ τὸν μέλλοντα χωρὶς τοῦ πάσσω πάσω καὶ πλάσσω πλάσω καὶ ἰνάσσω ἰνάσω.* Dieselbe Regel begegnet im Genuinum an vielen Stellen.

N̅ Φ̅ Δεξιά· παρὰ τὸ δεῖξιν αὐτὴν εἶναι· δι' αὐτῆς γὰρ δεικνύομεν τὰ ζητούμενα. ἢ παρὰ τὸ δέχω δεχιά καὶ δεξιά, ἡ πρὸς τὸ δέχεσθαι ἐπιτήδειος οὖσα. Vgl. Gen. *Δεξιά· ἀπὸ τοῦ δέχεσθαι δι' αὐτῆς τὰ διδόμενα. ἢ διεξιά τις οὖσα ἀπὸ τοῦ δι' αὐτῆς διεξιέναι τὰς πλείονας πράξεις.*

☧ *Φ Δεσπότης· παρὰ τὸν δεσμόν, ἀφ' οὗ τὸ δέος, ἐπειδὴ τῶν ὅλων δεσμός ἐστι συνέχων τὰ ἄλυτα καὶ σφίγγων αὐτά. ἢ παρὰ τὸ δεσπόζω, ὁ μέλλων δεσπόσω, δεδέσποκα, δεδέσποσμαι, τὸ τρίτον δεδέσποσται καὶ ἐξ αὐτοῦ δεσπόστης καὶ τῇ ἐλλείψει τοῦ σ̅ ἀνεβιβάσθη ὁ τόνος. ἢ δεσμώτης* (so d) *τις ὤν, ὁ δέος ἐμποιῶν τοῖς οἰκέταις. ἢ δεσμός τις, διὰ τὸ πάντα περιέχειν καὶ συγκρατεῖν. καὶ εἰς τὸ Κύριος.* Vgl. Gen. *Δεσπότης· οἱονεὶ δεσποίτης ὤν, ὁ δέος ἐμποιῶν, κατὰ ἀποβολὴν τοῦ ῑ.*

℘ *N. Δρόσος· παρὰ τὸ ὕω* (*νἷω* d) *τὸ βρέχω ὕσος* (*νἱς* d) *καὶ τροπῇ τοῦ ῡ εἰς ο, πλεονασμῷ τῶν συμφώνων· ἢ παρὰ τὸ ῥέω ῥόσος καὶ δρόσος πλεονασμῷ τοῦ δ̅· ἢ παρὰ τὸ Ζεύς Διός καὶ τὸ σεύω, τὸ ὁρμῶ, δίοσος καὶ ἐν συγκοπῇ καὶ πλεονασμῷ τοῦ ρ̅ δρόσος. βαρύνεται. τὰ εἰς ος δευτέρας συζυγίας διβραχέα βαρύνονται.* Vgl. Gen. *Δρόσος· κατὰ παράλειψιν τοῦ ι, οἷον ἡ ὑπὸ τοῦ Διὸς σοουμένη, δίοσός τις οὖσα, καὶ* ⟨*συγκοπῇ καὶ*⟩ *πλεονασμῷ τοῦ ρ̅ δρόσος* (Orion 47, 11).

℘ *N*[2]) *Ἱμερτόν· σημαίνει τὸ ἐπιθυμητόν· παρὰ τὸ ἱμείρω ἱμερῶ, ὁ παρακείμενος ἵμερκα*[3]), *ὁ παθητικὸς ἵμερμαι* ⟨*ἵμερται*⟩ *καὶ ἐξ αὐτοῦ ἱμερτός* ⟨*καὶ*⟩ *ἱμερτόν τὸ οὐδέτερον. τὸ δὲ ἱμείρω παρὰ τὸ ἵμερος· τοῦτο δὲ παρὰ τὸ ἵημι, ... τὸ πορεύομαι· τὸ γὰρ ἱμεῖρον πάντη πο-*

1) n. 2) Siglen d^1 oder d^2. 3) Die Worte *ἵμερκα* bis *ἱμείρω* scheinen nachträglich von d^1 oder d^2 zugefügt. Später ohne Lücke und *τὸ γὰρ ἵμερον παντὶ* d.

ῥεύεται. Vgl. Gen. Ἱμείρω· τὸ ἐπιθυμῶ· παρὰ τὸ ἵμερος γέγονεν ἱμείρω. Ἵμερος· ἡ ἐπιθυμία· παρὰ τὸ ἵημι, τὸ προθυμοῦμαι, ἵμερος· ἐξ οὗ καὶ τὸ „ἵετο γὰρ βαλέειν“ (Il. 16, 383). ὁ γὰρ ποθῶν ἵεται ἐπὶ τὸ ποθούμενον (Orion 76, 26).

Hinzu treten vier weitere Glossen, welche auch aus den verlorenen Teilen des Etym. parvum stammen könnten:

☧ Γ ℱ1) Οὐσία· ἐκ τοῦ ἔω, τὸ ὑπάρχω, ὁ δεύτερος ἀόριστος ἧον, ἡ μετοχὴ ἑών ὤν ὄντος, τὸ θηλυκὸν οὖσα ⟨καὶ ἐξ αὐτοῦ ὄνομα θηλυκὸν οὐσία, ἡ ὑπάρχουσα ἔν τινι, ὥσπερ καὶ τὸ γέρων γέροντος γερουσία. τὸ σι ι διὰ τί; τὰ διὰ τοῦ σια⟩. Vgl. Gen. Οὐσία· ὡς παρὰ τὸ γέρων γίνεται γερούσιος καὶ ἑκὼν ἑκούσιος, οὕτως καὶ ὢν οὔσιος καὶ τὸ θηλυκὸν οὐσία, οἱονεὶ ἡ οὖσα ἀεὶ καὶ ὑπάρχουσα, παρὰ τὴν ὢν μετοχήν, ἥτις ὕπαρξιν σημαίνει.

☧ ℱ2) Πλάνη· παρὰ τὸ πελάζω, ὅπερ κατὰ συγκοπὴν πλάζω· οἱ γὰρ πλαζόμενοι πρόδηλον ὅτι ἐπλανήθησαν. ἢ [παρὰ] τὸ πλαγιάζειν τὸν νοῦν· ἢ ἐκ τοῦ ἀλῶ ἄλη, ἡ πλάνη. Vgl. Epim. An. Ox. II 402, 9.

☧ ℱ Προσηνής· ὁ πρᾷος ..... παρὰ τὸ αἶνος αἰνής καὶ προσηνής, ὁ ὢν ἐγγὺς τοῦ αἰνεῖσθαι. καὶ εἰς τὸ Ἀπηνής. Vgl. Gen. Ἀπηνής· ὁ σκληρός. παρὰ τὸ ἠύς γίνεται ἠής καὶ πλεονασμῷ τοῦ ν ἠνής καὶ ἀπηνής. ἢ ὁ ἄποθεν τοῦ αἰνεῖσθαι, ὅ ἐστιν ἐπαινεῖσθαι. αἶνος γὰρ ὁ ἔπαινος. ἢ ὁ μὴ ἡνίαις εἴκων, τουτέστιν σκληρός, ἀπὸ μεταφορᾶς τῶν δυσηνίων ἵππων. ἢ αἰνός, ὁ δεινὸς καὶ σκληρός, αἰνής καὶ ἀπηνής. Vgl. Epim. An. Ox. II 402, 12.

ℱ Ν Φύσις· παρὰ τὸ φύειν τὰς ὑποστάσεις ἢ τίκτειν. ἢ παρὰ τὸ πεφυκέναι. Vgl. Gen. Φύσις· παρὰ τὸ φύω φύσω φύσις, ἡ ἐν ἅπασι φύουσα καὶ κινουμένη.

Aber auch wenn wir all diese Glossen, weil sie für Photios nur ein unsicheres Zeugnis geben, aufser Rechnung lassen, bleiben noch genug mit ℱ bezeichnete Glossen, die sich weder im Genuinum noch im Parvum finden. Bei einzelnen freilich ist die Erklärung leicht und fast sicher: ℱ (**a b c**) Μελῳδία· παρὰ τὸ μέλος, ἐξ οὗ καὶ μελῳδός· γράφεται δὲ διὰ τοῦ ω μεγάλου. τὰ γὰρ παρὰ τὴν ᾠδὴν γινόμενα ἅπαντα διὰ τοῦ ω γράφεται, οἷον ὑμνῳδός τραγῳδός ψαλμῳδός, χωρὶς τῶν παρὰ τὴν ὁδόν· ταῦτα γὰρ διὰ τοῦ ο μικροῦ γράφεται.

---

1) Die erste Sigle ist von **d**1 oder **d**2; ℱ fügt nachträglich **d**4 hinzu. Der in gebrochene Klammern geschlossene Teil ist aus **e** ergänzt.

2) Sigle ℱ und Text von einer Hand (am Rand); Siglo ☧ von einer andern. παρὰ τὸ πλάζω — πελαζόμενοι — ἄλη καὶ πλάνη **d**.

Φ (a c) *Νόσος· διὰ τὸ νοσεῖν τὸ σῶμα. ἢ παρὰ τὸ ν̅ω̅ στερητικὸν καὶ τὸ σῷος, ὁ ἐστερημένος τοῦ σῴου.*

Keine von beiden Glossen findet sich im Genuinum wieder, wohl aber die ihnen im Gudianum unmittelbar vorausstehenden *Μέλος* und *Νόθος* Wort für Wort. Bedenkt man, wie leicht sich derartige Quellenangaben in den Abschriften verschieben, so wird die Annahme nicht schwer dünken, dafs auch hier nur ein Herabrücken der Siglen stattgefunden hat.

Allein es bleibt trotz alledem ein grofser Rest von Photios-Glossen, welche sich weder im Genuinum noch im Parvum nachweisen lassen. Es sind aufser der im Probestück enthaltenen Glosse *Ἀμφιέσει*:

Φ *Ἄναρχος· ὁ μὴ παρά τινος ἡγεμονευόμενος ἢ ἀγόμενος· ἢ ὁ μήτε ἀρχὴν ἔχων μήτε τέλος.*

Φ *Ἀπαράσκευον καὶ ἀπαρασκεύαστον διαφέρει· ὁ μὲν γὰρ δι' ἑαυτοῦ τὴν χορηγίαν ἔχων ἀπαράσκευος ἂν λέγοιτο, ὁ δὲ ⟨δι'⟩ ἑτέρου ἀπαρασκεύαστος· ὁ μὲν ἄρχων ὁ μονομάχον δοῦναι θέλων ἀπαράσκευος λέγεται, ὁ δὲ μονομάχος ἀπαρασκεύαστος.*

Φ *Ἁρπάσαι· ἀπαρέμφατον ἀορίστου πρώτου· δασύνεται· τὸ ε ⟨καὶ⟩ ᾱ πρὸ τοῦ ρ̄ ἐπιφερομένου τοῦ π δασύνεται· ἕρπω, ἑρπετόν, ἅρπυια, ἁρπάζω.*

Φ[1]) *Ἄρθρον· φωνὴ σημαίνουσά τι, ἢ μέρος λόγου, δι' οὗ τρανοτέρα ἡ λέξις πέφυκε γίνεσθαι. ἢ ὁ ἁρμὸς τῶν μελῶν τοῦ σώματος. καὶ εἰ μὲν σημαίνει τὸ ἄρθρον τοῦ λόγου, γίνεται παρὰ τὸ ἀρθροῦν τὰ ⟨ὀνόματα⟩ κατὰ ἀριθμὸν καὶ γένος ⟨καὶ⟩ πτῶσιν, εἰ δὲ σημαίνει τὸ ἄρθρον τοῦ σώματος, γίνεται παρὰ τὸ ἀρθροῦν ἢ τὸ ἁρμοῦν τὰ μέλη καὶ συγκροτεῖν, ἐξ οὗ καὶ ὁ Ἰωάννης „σειραῖς ἀφύκτοις [ὃν δια]ρθροῖ δακτύλοις“,* wozu d^1 oder d^2 fügt *τουτέστιν μελοσυνθετεῖ, μελοποιεῖ, διαρθροῖ (διαρτοῖ* d), *ἁρμοποιεῖ, διαπλάττει.*

Φ[2]) *Αὐχήν· παρὰ τὸν αὐχμόν· ξηρὸς γὰρ ὁ τράχηλος καὶ ὀστώδης. καὶ εἰς τὸ Δειρή καὶ Ὀσφύς.* Die entsprechende Glosse des Gen. (kürzer als Et. M. 174, 19) weicht weit ab.

Φ *Βαλών· αἱ εἰς ω̅ν̅ λήγουσαι μετοχαὶ τοῦ δευτέρου ἀορίστου ὀξύνονται, δραμών, ἐλθών, πιών· οὕτως οὖν καὶ βαλών· ἀντίκειται τὸ πέφνων· αἱ γὰρ εἰς ω̅ν̅ λήγουσαι μετοχαί ποτε ἐν ἐπιπλοκῇ ἔχουσαι σύμφωνον, ἐὰν τὸ δεύτερόν ἐστιν ἀμετάβολον, πάντως βαρύνονται, κάμνων, τέμνων· τοιοῦτον καὶ τὸ πέφνων* (= Epim. An. Ox. I 92, 28).

Φ[3]) *Βροτός· ἐκ τοῦ μείρω, τὸ μερίζω, γίνεται μορτός, μροτός*

1) Sigle und Text von einer Hand (?) am Rand. 2) Sigle d^1 oder d^2 3) So d und b (Sigle und Text von einer Hand). Da die Glosse einige Ähnlichkeit mit den Epim. Hom. An. Ox. I 91, 14 hat, so setzt e hierfür ὅς ein.

(μροτ̊ d), καὶ ἐπεὶ οὐδέποτε ἀμετάβολον ἀμεταβόλου προηγεῖται, τρέπεται τὸ μ̄ εἰς β̄ καὶ γίνεται βροτός· καὶ τὸ μετουσιαστικὸν βρότειος. τὰ διὰ τοῦ ειοσ ὀνόματα μετουσιαστικὰ ἢ κτητικὰ ὑπόστασιν (ῡ d) ἢ μέρος σώματος δηλοῦντα διὰ τῆς ει διφθόγγου γράφονται . . . βρότειος, δρακόντειος κάρα, ἑκτόρειος χιτών. Das Genuin. ist gleich Orion 33, 26.

ℌ[1]) Δῖναι· ποταμῶν εἰσιν τὰ μεσώτατα, ἔνθα τὸ ῥοῖζος τοῦ ποταμοῦ ἐκ τῶν μερῶν εἰς μέσον συναγόμενον σταχυώδως, ὡσ⟨τε⟩ ἀπὸ τῆς περιδινήσεως δίνα ἢ δίνη κέκληται.

ℌ[2]) Δίψα· παρὰ τὸ ἴπτω, τὸ βλάπτω, ἴψα καὶ δίψα, ἡ βλάπτουσα τὸ σῶμα.

ℌ[3]) Ἐκφοροῦντα· ἐστὶν ἐκφέρω· ἐξ αὐτοῦ γίνεται ἐκφορά, καὶ ἐκ τούτου ῥῆμα ἐκφορῶ, ὁ παθητικὸς ἐκφοροῦμαι καὶ ἡ μετοχὴ τοῦ ἐνεργητικοῦ ⟨ἐνεστῶτος⟩ ἐκφορῶν ἐκφοροῦντος.

ℌ[4]) Ἕλκω· τὸ σύρω· [(ἢ ἐκ τοῦ ὁλκός)] τὸ ε̄ ψιλόν. ἀδύνατον γάρ, ἔνθα ἀμετάβολον ἀφώνου προηγεῖται, πρὸ τοῦ ἀμεταβόλου τὴν οἱανδήποτε δίφθογγον εὑρεθῆναι, οἷον ἐλπίς ἕρκος ἕρπω. σεσημείωται τὸ εἴργω, ὅπερ ⟨οἱ⟩ παλαιοὶ ἀναλόγως κεχρημένοι κατὰ διάλυσιν εἶπον ἐέργω.

ℌ Ἐξέφηνε[5])· τὸ θέμα φαίνω, ὁ μέλλων φανῶ, ὁ ἀόριστος ἔφανα καὶ ἐξ αὐτοῦ „ἔφαναν αἱ ἀστραπαί σου", καὶ κατὰ τροπὴν τοῦ ᾱ εἰς η̄ ἔφηνεν.

ℌ Εὐνή[6])· παρὰ τὸ εὖ νενῆσθαι ταῖς στρωμναῖς (= Orion 51, 9). ἔργον εἴχοντο (?). καὶ εἰς τὸ Λέχος.[7])

ℌ Ἔχθιστος· ἐκ τοῦ ἐχθρός· ἐτυμολογεῖται δὲ ἐκ τοῦ θορῶ, τὸ πηδῶ, καὶ ⟨τῆς ἐκ προθέσεως⟩ ἐκθορῶ, ὁ μέλλων ἐκθορήσω, ἐκθορός[8]) καὶ συγκοπῇ ἐχθρός, ὁ ἔξω ἡμῶν προερχόμενος. ἢ παρὰ τὸ ἐχθὺς γέγονεν ἐχθιστότερος (so) τὸ συγκριτικόν, τὸ ὑπερθετικὸν ἐχθρότατος καὶ ὁ δεύτερος τύπος ἔχθιστος.

ℌ Ἦχος· φώνησις, ψόφος· παρὰ τὸ αὖον, ὃ σημαίνει τὸ ξηρόν· τὰ γὰρ ξηρὰ ἠχεῖ.

ℌ Θεωρός· παρὰ τὸ θεός καὶ τὸ ὁρῶ. ἢ παρὰ τὸ ⟨τὸ⟩ θεῖν ὁρᾶν.

ℌ N Θηρός· ἡ εὐθεῖα ὁ θήρ, τοῦ θηρός· γέγονε παρὰ τὸ θέρω, τὸ θερμαίνω· [(κυρίως δὲ λέγεται θὴρ ὁ λέων, ὁ θερμός)] ἐπειδὴ καὶ πάντα τὰ θηρία θερμά εἰσιν.

1) 3) u. 4) Sigle d¹ oder d². 2) Sigle und Text am Rand von derselben Hand. 5) ἐξεῖπεν fügt wahrscheinlich d² in einer freigelassenen Lücke ein. 6) κοίτη d² in freigelassener Lücke, hierzu ἢ γυνή eine andere Hand. 7) Das Genuin. bietet zwar dieselbe Ableitung, aber aus anderer Quelle. 8) ἐκθορᾶσ d.

§ Ψ[1]) Ἰορδάνης· παρὰ τὸ Ἴορ καὶ τὸ Δάνης, ὀνόματα ποταμῶν. δύο γάρ εἰσι ποταμοὶ ἐν ταὐτῷ (ἐνταῦ d).

ΧΓ §[2]) Ἰός· ἀντὶ τοῦ φάρμακον. οἱ γὰρ ἀρχαῖοι ἐπὶ τοῖς ἰοῖς αὐτῶν φάρμακα ἔβαλλον. γίνεται δὲ παρὰ τὸ ἵημι, τὸ πέμπω, ἰός τὸ πεμπόμενον βέλος. Der zweite Teil könnte aus Epim. An. Ox. II 379, 1 stammen.

§[3]) Ἰσθμός· γῆ μεταξὺ δύο θαλασσῶν. εἴω τὸ πορεύομαι, ἐξ οὗ γίνεται εἶμι. τοῦτο ἐπὶ τῶν πληθυντικῶν διὰ τοῦ ῑ γράφεται καὶ γίνεται τὸ πρῶτον τῶν πληθυντικῶν ἴμεν· ἐξ αὐτοῦ ἰμός, καὶ πλεονασμῷ τοῦ σ̄ καὶ ἐπενθέσει τοῦ θ ἰσθμός, εἰς ὃν τις πορεύεται.

§[4]) Καχεξία· ἡ ἀρχὴ τῶν λοιμικῶν νόσων· γίνεται δὲ ἐκ τοῦ καχέκτης.

§ Κτίσις κτίσματος διαφέρει· κτίσις μὲν γὰρ κυρίως καλεῖται ἡ σύστασις τοῦ παντός, κτίσμα δὲ τὸ ὑφ' ἑκάστου ἀνδρὸς δυνάμενον οἰκονομεῖσθαι, οἷον πόλις, οἶκος, τεῖχος. καὶ εἰς τὸ Κτῆσις. Die Sigle steht etwa eine Zeile höher als das Lemma, könnte sich also auch auf den Schlufs der vorausgehenden Glosse *Κτίλος* = Gud. 350, 45—59 beziehen. **ac** setzen die Sigle vor die Glosse *Κτίλος ὁ κριός, ὁ προηγούμενος τῶν προβάτων, κίλος τις ὤν, μετὰ πλεονασμοῦ τοῦ τ̄ κτίλος· παρὰ τὸ κίειν, ὅ ἐστι πορεύεσθαι*, welche in der That aus dem Genuinum stammt.

§[5]) Μάκαρ· πόσας εὐθείας ἔχει· γ'· μάκαρς μάκαρος μακάριος, ὅπερ ἀπὸ τοῦ κήρ, ὃ σημαίνει τὴν θανατοφόρον μοῖραν, γέγονε, καὶ ἐξ αὐτοῦ μάκαρ ἀποκοπῇ τῶν δύο συλλαβῶν ἡ κλητική· μακάριος ὁ μὴ κηρί, τουτέστι φθορᾷ, ὑποκείμενος. οἱ δὲ πλεονασμῷ τοῦ μ̄ ἀκάριος καὶ μακάριος. μακάριος ὁ πάντοτε ἐν ἀγαθοῖς ὤν.

§[6]) Μέλαν· διὰ τὸ μὴ λάμπειν.

§[7]) Μόνος· παρὰ τὸ μένω μένος καὶ μόνος.

Das Zeugnis des Etym. Gudianum bestätigt die Resultate, welche sich mir, lange bevor ich von demselben eine Ahnung hatte, aus der Überlieferung des Genuinum ergeben hatten, aber es ist eine wenig erfreuliche Bestätigung. Gewifs können von den Angaben der Scholiasten des Cod. Barberinus einzelne irrig sein; gewifs **kann** der Photios-Codex, dessen Schlufs wir ja weder durch Cod. *A* noch *B* kennen lernen, neben Etymologicum Genuinum und Parvum noch ein drittes, uns verlorenes grammatisch-etymologisches Werk ent-

1) Sigle § von d¹ oder d², Ψ schräg darüber von anderer Hand.
2) 3) u. 4) Sigle d¹ oder d². 5) Aus a b c. 6) Aus a c. 7) Aus c.

halten haben: dennoch wird, wer unbefangen die Photios-Glossen des Gudianum prüft, zugeben, daſs das Genuinum, welches im elften Jahrhundert den Schreibern des Cod. Barberinus vorlag, nicht nur weit vollständiger war, als es uns in den etwas älteren Handschriften *A* und *B* vorliegt, sondern daſs es vielfach auch ursprünglichere Form zeigte.[1]) Eine Verkürzung, stärker als wir sie bisher annehmen muſsten, die an einzelnen Stellen sogar zur Überarbeitung geworden ist, liegt zwischen dem ursprünglichen Entwurf und den uns erhaltenen Handschriften, mit welchen, wie ich gleich vorausnehme, die von dem Verfasser des sogenannten Etym. Magnum, von dem Grammatiker Symeon und von dem Interpolator des Cod. Cretensis des Gudianum einst benutzten Exemplare sehr viel enger als mit dem im Gudianum verwandten übereinstimmen.[2]) Nur möge

1) Der Versuch einer Rekonstruktion dieser ältesten Form aus dem Etymol. Gudianum scheint mir eben darum aussichtslos; wohl gehen wahrscheinlich sämtliche Excerpte aus Herodian περὶ παθῶν und den Apollonios-Scholien, vielleicht auch die Homer-Scholien und manches andere im Gudianum auf den Photios-Codex zurück. Aber ganz abgesehen davon, daſs in dem Wortlaut selbst des Haupttextes des Barberinus schon oft verschiedene Elemente in einander gearbeitet sind, die überwiegende Mehrzahl der Quellen ist doch in beiden Werken unabhängig von einander benutzt; bei diesen Bestandteilen ist eine durchgehende Scheidung des unmittelbar und des mittelbar Entnommenen nie durchzuführen.

2) Auf die Spur einer Etymologikon-Handschrift, welche reicher war als alle uns erhaltenen, machte mich Prof. Br. Keil gütigst aufmerksam; sie sei wenigstens beiläufig erwähnt. Das Verzeichnis der Bibliothek des Papstes Bonifacius VIII., welches zu Perugia im Jahre 1311 gefertigt wurde (Ehrle Bibl. Roman. Pontif. I p. 97) enthält die Notizen 605 *Item unum librum in magno volumine, in quo est prima pars ethimologiae, antiquum; et habet in una parte dimidiam tabulam et est scriptus de lictera greca, in cartis pecudinis.* 606 *item* XXVI *magnos quaternos dissolutos scriptos de lictera greca in cartis pecudinis, in quibus continetur ethimologia verborum grammatice, in secunda parte, antiquum; et non habet coperturam et sunt ligati cum corda.* „Etymologien der Wörter nach grammatischem Gesichtspunkt" ist eine vollkommen treffende Charakteristik z. B. des Etymol. Genuinum; es ist keinerlei Grund, mit Ehrle an Suidas zu denken. Es war eine Pergamenthandschrift in Groſsfolio (vgl. *magnum volumen, magni quaterni*), deren zweiter Teil allein 26 Quaternionen, d. h. etwa 208 Blätter umschloſs. In Minuskel muſs sie geschrieben gewesen sein; das sind alle Etymologienhandschriften und ist nach der Zeit der Entstehung dieser Werke auch notwendig. Das Gudianum ist, bis Humanisten die in allen alten Handschriften üblichen Abkürzungen auflösten, niemals so umfangreich gewesen; ebensowenig irgend ein anderes etymologisches Werk. Dagegen widmet der Cod. *A* des Genuinum diesem Werk allein 41 Quaternionen; es folgte wahrscheinlich noch das Parvum. Eine vollere Handschrift dieses Werkes k a n n der verschollene Codex gewesen sein. Wieder einmal hat wahr-

man darum das in *A B* vorliegende Etymologikon nicht als ein anderes Werk von dem des Photios scheiden und letzteres etwa zu der Hauptquelle des ersteren machen. Die Gesamtanlage jener beiden Handschriften, die früher besprochenen Notizen wie ζήτει δέ, die Abfolge der Quellen im Buchstaben *A*, die von Photios selbst gemachten Nachträge, die Art, wie sein Lexikon benutzt wird, dies alles zeigt, dafs wir ein Recht haben, *A B* als das — allerdings stark verkürzte und ab und an geänderte — Etymol. Genuinum zu bezeichnen.

Dafs Photios nicht die Absicht hatte, das Werk nach seiner Vollendung unter seinem eigenen Namen zu veröffentlichen, zeigt die Einführung der von ihm gemachten Zusätze. Namenlos ist es auch in aller Folgezeit geblieben. Wenn trotzdem die Schreiber des Cod. Barberinus noch wissen, dafs es auf Photios zurückgeht, und es in ursprünglicherer Textesgestalt kennen, so dürfen wir hierfür wohl mündliche Tradition und Benutzung des Urexemplars selbst oder einer der wenigen ersten Abschriften annehmen.[1]) Denn aus der eigentümlichen Unfertigkeit dieses Werkes, besonders in Cod. *A*, sowie aus der Thatsache, dafs der in der Anlage so weit von demselben abweichende Cod. *B* von eben demselben Schreiberpaar gefertigt ist, möchte ich schliefsen, dafs das Etymol. Genuinum nicht unter Photios selbst publiziert und verbreitet ist, sondern dafs es, zunächst nur in kleinem Kreise bekannt, halbfertig liegen blieb, bis sich gegen Ende des zehnten oder Anfang des elften Jahrhunderts das Interesse weiter Kreise diesen Gegenständen zuwandte. So wurde es jetzt — allerdings in starker Verkürzung — publiziert und zahlreiche Abschriften in rascher Folge und mit wachsender Verkürzung genommen. Dies geschah wahrscheinlich schon vor der Abfassung des Etymol. Gudianum; daher konnte der letzte Redactor des sechsten Lexikon Seguerianum das Werk einfach als τὸ ἐτυμολογικόν citieren.[2]) Den Titel τὸ μέγα ἐτυμολογικόν empfing es, als das rivalisierende jüngere Werk, welches unmittelbar nach der letzten Überarbeitung in zahlreichen Abschriften verbreitet sein mufs, gegen Ende des elften Jahrhunderts hinzugetreten war; so

---

scheinlich erst in einer schon humanistisch empfindenden Zeit das Geschick uns gerade die wertvollste Handschrift entrissen.

1) Auch Cod. *A* scheint ja in Konstantinopel entstanden, und die Bibliothek, welche seine Schreiber benutzten, mufs, wie im folgenden Kapitel gezeigt werden soll, in vielem mit der im Kreis des Photios benutzten übereingestimmt haben.

2) Vgl. An. Gr. 445, 27 Bekk.

citieren es dann der Verfasser des sogenannten Etymol. Magnum und Eustathios.

Der Verfasser des jüngeren Werkes hatte neben den ursprünglichen Sammlungen des Photios eine reiche Fülle neuen oder schon in jenen benutzten Materiales zur Verfügung, etymologische, orthographische und grammatische Schriften. Aber ihm wie seinen Gehilfen fehlte das Urteil in der Auswahl, welches, soweit der minderwertige Stoff es gestattete, Photios und sein Hilfsarbeiter wirklich besafsen, und ihm fehlte die Sorgfalt in der Ausführung. Ein thörichtes Streben nach Vollständigkeit veranlafste ihn und seine Gehilfen beständig zu Kontaminationen oder zu Wiederholungen derselben Angabe aus verschiedenen Quellen — man vergleiche die Glossen *Ἅμα* im Probestück — von einem grammatischen Standpunkt, einer eigenen Grundrichtung kann bei ihm nicht die Rede sein. Man kann die Leistung des Verfassers des Genuinum, die ganze Arbeit, welche der Kopie der einzelnen Glossen vorausliegt, voll nur würdigen, wenn man es mit dem Gudianum vergleicht. Dennoch wird auch dies jüngere Werk die Mühe lohnen, es aus der Entstellung durch immer erneute Schreiberinterpolation und aus der noch ärgeren Entstellung durch eine unsagbar elende *editio princeps*, welche mehr Schaden als Nutzen gestiftet hat, endlich ans Licht zu ziehen. Möge es bald und ordentlich geschehen!

DRITTES KAPITEL.

ETYMOLOGIKA VOR PHOTIOS.

Die am Ende des vorigen Kapitels vorgelegte Untersuchung hat — dem Verfasser selbst zur höchsten Überraschung — ergeben, dafs auch das gewöhnlich als Etymol. parvum bezeichnete Werk auf die Anregung Photios' zurückgeht und in demselben Kreise wie das Genuinum entstanden ist. Dies wird uns durch die Untersuchung der Quellen bestätigt: eine grofse Anzahl derselben ist beiden Werken gemeinsam, nur steht der Verfasser des Parvum denselben weit freier als der des Genuinum gegenüber. Dieser kopiert, jener excerpiert, und zwar vorwiegend, was ihm für die Etymologie wichtig erscheint.[1]) Er fafst seine Aufgabe enger; die Freude an den seltenen Citaten und den Namen der grofsen Grammatiker fehlt ihm; etwas in gewisser Weise Eigenes will er bieten und zeigt in der That, wie ein etymologisches „eigenes“ Werk dieser Zeit allein ausfallen konnte. Es ist nicht eine Ergänzung zu dem schon fertigen Genuinum — das zeigt ja auch die nicht streng alphabetische Ordnung, welche das Nachschlagen fast unmöglich macht — sondern eher ein erster, von einem unglücklichen Gesichtspunkt begonnener Versuch.

Nun trägt das Parvum den Titel *ἐτυμολογίαι διάφοροι ἀπὸ διαφόρων ἐτυμολογικῶν ἐκλεγεῖσαι* und *οἱ ἐτυμολόγοι* werden in dem Genuinum angeführt. Die Frage mufs aufgeworfen werden, ob Photios — abgesehen von den früher genannten Quellen — wirkliche Etymologika schon vorgefunden und in die beiden Werke aufgenommen hat, mit andern Worten die Frage, ob die Geschichte

1) Man vergleiche z. B. die später (S. 191) angegebenen, aus der Orthographie des Choiroboskos entlehnten Glossen mit den wertvollen Resten, welche aus demselben Werk im Genuinnm erhalten sind; letzteres soll eben eine Übersicht über alles auf dem Gebiet der Grammatik dem Verfasser Vorliegende in der Form eines Nachschlagewerkes bieten, das Parvum dagegen, entsprechend seinem Titel, nur *ἐτυμολογίαι* geben.

der Etymologika wirklich mit Photios beginnt.[1]) Sie läſst sich nur durch eine Untersuchung der Zusammensetzung des Etymologicum parvum und eine Analyse der den *ἐτυμολόγοι* zugeschriebenen Glossen des Genuinum beantworten; ich gebe beide etwas eingehender, um an einem besonders geeigneten Beispiel zugleich die Methode der Quellenuntersuchung an diesen Werken darzustellen.

Für den in letzter Zeit öfters behandelten Grammatiker Seleukos sind durch den Fund der guten Handschriften des Etymol. Gudianum folgende Fragmente gewonnen worden[2]):

1) *Σελεύκου· Ἄρθρον· παρὰ τὸ ἀρηρέναι, ὅ ἐστιν συνηρμόσθαι ἤτοι ἐξαρμοῦν.*

2) *Σελεύκου· Βουβών· ἀπὸ τοῦ μεγάλως ἐπῆρθαι* (*ἐπᾶρθαι* d) ⟨*ὡς βουνός*⟩*· τὸ γὰρ βου προτασσόμενον τὸ μέγα δηλοῖ.*

---

1) In gewissem Sinn beginnt sie natürlich mit Orion oder Methodios, der durch sein planmäſsiges Ausnützen der verschiedenen Scholien und Epimerismen zu einem etymologisch-lexikalischen Werk in der That Vorbild für Photios gewesen sein kann. Aber trotz dessen bleibt das Genuinum ein durchaus eigenartiges und selbständiges Werk. Die Frage dagegen, welche durch jene Citate nahe gelegt wird, ist, ob eine oder mehrere dem Genuinum strenger entsprechende Sammlungen bestanden haben, an welche Photios sich schlieſsen konnte etwa wie die Verfasser des Gudianum an das Genuinum.

2) Der Name ist in d oft ausgeschrieben, bisweilen durch *σελεῠ* oder *σε*\\, selten durch (ͅ abgekürzt; in den Abschriften a b c fand ich ausschlieſslich *σε*\\, auſser in Glosse *Γλαυκῶπις*, zu welcher a c *σελεῠ*, b *σε*\\ bietet. Genau so bezeichnet am Schluſs der Glosse *Πανσαγίη* des Etymol. genuinum *A* die Quelle durch *σελεῠ*, *B* durch *σε*\\. Die Bedeutung der Sigle war allen Schreibern noch bekannt. Die Quellenangaben zu den Glossen *Ἄρθρον*, *Ἔαρ*, *Ἑκαμήδη*, *Ἑκατόν*, *Ἐννέα*, *Ἐξάδιος*, *Εὔβοια*, *Εὖρος*, *Ἐχῖνος*, *Ἔχις*, *Ζαγρεύς*, *Ζωπυρεῖν*, *Ἠλακάτη*, *Ἡρακλῆς*, *Θέναρ*, *Θεός*, *Ἰάλεμος*, *Ἰάμβη*, *Ἰατρική*, *Ἰλλάδες*, *Ἵμερον*, *Ἰνίον*, *Ἰόβακχος*, *Ἴουθος*, *Ἱπποθόων*, *Καρδία*, *Κέρτομος*, *Κῆρυξ*, *Κριτής*, *Κυβήβη*, *Κύβος* sind nur in d, die andern auch in den Abschriften überliefert; die Glossen *Ἴτριον*, *Κάλυμνος*, *Καλυψώ*, *Καραδοκεῖν*, *Κόρη*, *Κοτύλη*, *Κύλλαρος*, *Κύρβεις*, *Λαμψακός*, *Λαοί* fehlen in d durch Blattverlust; ich gebe den Text nach a b c v (für *Κάλυμνος*, *Καλυψώ*, *Καραδοκεῖν* und die Ergänzungen in Gl. *Κρίνον* nach c v); wo d erhalten ist, ist in der Regel nur die erste Hand berücksichtigt. Die Glossen *Ἑκάτη*, *Ἑκαμήδη*, *Ἑκατόν*, *Ἐνηλύσια*, *Ἐννέα*, *Ἐξάδιος*, *Ἕσπερος*, *Θέναρ*, *Ἰλεύς*, *Ἰλλάδες*, *Ἴουθος*, *Ἱπποθόων*, *Ἴτριον*, *Κάλυμνος*, *Καλυψώ*, *Καραδοκεῖν*, *Κελύφη*, *Κερδώ*, *Κέρτομος*, *Κηλεύς*, *Κήρ*, *Κίρκη*, *Κλεΐς*, *Κροκύφαντος*, *Κυβήβη*, *Κύβος*, *Κύλλαρος*, *Κύρβεις* kehren im Etymol. genuinum wieder; ich füge die Lesungen von *A B* bei. In *A B* wie in v fehlen, falls nicht ausdrücklich das Gegenteil bemerkt ist, die Quellenangaben. Die Glossen sind furchtbar verkürzt; gröſsere Ergänzungen und tiefer greifende Konjekturen habe ich mit Absicht vermieden.

3) *Σελεύκου· Γλαυκῶπις· ἀπὸ τοῦ Γλαυκωπίου ὄρους, ὃ ⟨καὶ⟩ Λυκαβηττὸς καλεῖται· ἢ ἀπὸ τοῦ γλαυκοὺς ἔχειν τοὺς ὦπας· ἢ ἀπὸ τοῦ δεινὸν γλαύσσειν τοὺς ὀφθαλμούς, ὅ ἐστιν ἀπαιθύσσειν· ἢ ἀπὸ τοῦ γλαῦκα ὀπίζεσθαι, τουτέστιν ἐντρέπεσθαι.*

4) *Σελεύκου· Ἔαρ· ἀπὸ τοῦ τὰ συνέχοντα τῷ χειμῶνι καὶ μεμυκότα τότε προϊέναι. ⟨ἢ⟩ παρὰ τὸ τὰ ἑὰ ὀρνύειν. καὶ εἰς τὸ Εἶαρ.*

5) *Σελεύκου· Ἐγγυῶμαι· οἷον ἐν χερσὶν φυλάττω· ὅθεν ἐγγυαλίξαι ἐγχειρίσαι καὶ δοῦναι . . . . κυρίως δὲ ὁ τὸ ὑποκείμενον ἀνέπαφον παρεχόμενος.*

6) *Σελεύκου· Ἑκάβη· ἡ ἕκαθεν βεβηκυῖα πρὸς τὸν ἄνδρα· ὁ γὰρ πατὴρ Δύμας ὁ Φρὺξ εἰς Ἴλιον Πριάμῳ ἐξέδοτο· ὅθεν καὶ Πρίαμος Φρυγίοις συμμαχεῖ· „ἤδη καὶ Φρυγίην“* (Il. 3, 184).

7) *Σελεύκου· Ἑκαμήδη· ἡ τοῦ Νέστορος παλλακίς· ἀπὸ τοῦ ἕκαθεν βουλεύεσθαι κατὰ τοῦ Νέστορος· ⟨ἢ⟩ ἡ μηδὲν εἰκαῖον μηδομένη.*

8) *Σελεύκου· Ἑκατόν· ὡσανεὶ δεχαγόν . . . . ἀριθμόν· ἢ παρὰ τὸ ἑκάς.* **d.** *Ἑκατόν· ὁ ἀριθμός· παρὰ τὸ ἔχω ἐχατόν καὶ ἑκατόν τὸ ῥηματικόν· ὡς γὰρ οἱ ἐπὶ πέρας ὁδοῦ ἐρχόμενοι οὕτως καὶ οἱ ἐπὶ πέρας ἀριθμοῦ ἐρχόμενοι ἐπέχονται· ‖ ἢ ⟨δεκαγόν⟩· παρὰ τὸ ἄγειν τὸν δέκα ἀριθμόν, ὅ ἐστιν φέρειν. A B.*

9) *Σελεύκου· Ἐνηλύσια λέγεται εἰς ἃ κεραυνὸς εἰσβέβηκεν, ἃ καὶ ἀνατίθεται Διῒ Καταιβάτῃ καὶ λέγεται ἄδυτα καὶ ἄβατα.*

10) *Σελεύκου· Ἐννέα· ἀπὸ τοῦ ἐνδεῖν εἰς τὸν [(τῶν)] δέκα ἀριθμόν.*

11) *Σελεύκου· Ἐξάδιος· ὁ ἐξοχὴν ἐν τῷ διώκειν ἔχων.*

12) *Σελεύκου· Ἕσπερος· ἀπὸ τοῦ ἔσω περᾶν πάντα τὰ ζῷα καὶ καθεύδειν, καὶ Σαπφώ· „Ἕσπερε πάντα φέρων, ὅσα φαινολὶς ἐσκέδασ' αὔως“* (Fr. 95 B[4]) *οἱ δέ, ὅτι εἰς πέρας ἐλήλυθεν ⟨ἡ⟩ ἡμέρα· ἢ ὅτι ἕπεται τῇ τοῦ ἡλίου αὐγῇ.* **d.** *Ἕσπερος· „ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ“* (Il. 22, 318). *εἴτε ὁ καιρὸς εἴτε*

1. *γλαυκοπίου* **d** 3. *γλαύσειν* **d.** 5. also *εἶαρ* von *εἴω* 6. Nach *προϊέναι: καὶ αὔξεσθαι ἐτυμολογεῖται δὲ* von **d**[1] oder **d**[2] später hinzugefügt. *παρὰ τὰ ἔα ὀρούειν* **d.** 8. Ohne Lücke **d.** 10. Nach *Ἑκάβη* gröſsere Lücke in **d** gelassen; *A B* und Epim. ohne dieselbe. 11. *ὁ* fehlt *A B.* 13. 14. Gl. fehlt *A* Reihe II. 13. *ἡ Νέστορος A*[1] (also *A* erste Reihe) *B.* *παλλακή B.* 14. Ergänzt von Kaibel *κατὰ* bis *μηδομένη* fehlt *A*[1]. *ἡ μηδὲν ἡ μηδομένη B.* 15. Ohne Lücke **d.** 16. *ἑκατὸν καὶ ῥηματικὸν B A*[1]. 16—18. *τὸ ῥημ.* bis *ἐπέχονται* fehlt *A*[1]. 18. 19. *ἢ παρὰ τὸ ἥκειν καὶ φέρειν δέκατον ἀρ. A* (*ἥκειν καὶ* fehlt *A*[1]) *ἢ π. τ. ἥκειν δέκατον B τὸν δέκα* Kaibel 20. 21. Nach anderer Angabe mit der Einleitung *εἰς δὲ τοὺς ἐτυμολόγους εὗρον A B.* 21. *καταβατικά* **d.** *λέγονται* **d.** 22. *ἀριθμῶν* **d.** — *οὕτω Σέλευκος* fügen *A B* bei. 23. Die Sigle steht etwas unter Gl. *Ἕξ· πόθεν; παρὰ τὸ ἐξισάζειν αὐτὸν τοῖς οἰκείοις μέρεσιν* und etwas über *Ἐξάδιος*. Die Einführung durch *πόθεν* widerspricht dem Stil dieser Glossen, die Etymologie von Heroen-Namen ist in ihnen häufig. Dem Seleukos gehört in *A B* wahrscheinlich *Ἕξ· διὰ τὸ ἔξω εἶναι τῶν πέντε.* Nach *ἔχων* fügen *A B* weiteres aus anderer Quelle hinzu. 26. *αἱ δὲ* **d.** 26. 27. *ἡμέρα* bis *αὐγῇ* am Rand zugefügt **d**, vgl. Schol. Eur. O. 1260.

ὁ ἀστήρ, ἀπὸ τοῦ ἔσω περᾶν τὰ ζῷα ὡς ἀναπαυσόμενα· ἢ ὁ πέρας τῆς ἕω φέρων· Σαπφὼ δὲ „Ἕσπερε πάντα φέρων, ὅσα φαινολὶς ἐσκέδασ' αὔως". τὸ γὰρ ἐναντίον ἕως καλεῖται παρὰ τὸ ἐᾶν πάντα καὶ ἀπολύειν· Ἡσίοδος „Ἠώς, ἥτε φανεῖσα πολεῖς ἐπέβησε κελεύθου ⟨ἀνθρώπους⟩" (W. u. T. 580). *AB*

13) *Σελεύκου· Εὔβοια· ὅτι λευκοὺς καὶ καλοὺς βοῦς ἔχει· ⟨Ὅμηρος δὲ Ἄβαντας αὐτοὺς καλεῖ ὡς καὶ τοὺς ἐξ Ἰλίου⟩ [οὐκ Ἰλιεῖς] ἀλλὰ Τρῶας [καὶ τοὺς ἐκ Ζελείας] Τρῶας.*

14) *Σελεύκου· Εὖρος· ὁ ἀπηλιώτης ἄνεμος, ὁ τῆς θερμασίας ⟨ποιητικὸς⟩ ἄνεμος. εὐρὼς γὰρ ὁ ἱδρώς· οἱ δέ, ὅτι κατὰ πλάτος τοῦ κόσμου τείνει.*

15) *Σελεύκου· Ἐχῖνος· τὸ ⟨χερσαῖον⟩ ζῷον παρὰ τὸ συνέχειν ἑαυτὸ στρογγυλλόμενον· τὸ δὲ θαλάσσιον καθ' ὁμοιότητα τῶν ἀκανθῶν· καὶ ⟨ὁ⟩ τῶν ὀρνίθων κατὰ ποιότητα σχήματος. κακῶς δὲ Καλλίμαχος* (Fr. 250) *τῶν βοῶν τὰς κοιλίας εἶπεν.*

16) *Σελεύκου· Ἔχις· ὅτι μόνον τῶν ὄφεων μὴ ᾠοφορῆσαν τίκτει, ἀλλὰ παρ' ἑαυτῷ κατέχει καὶ ζῳοφορῆσαν τίκτει οὐκ ᾠόν, ἀλλὰ τέλεια τὰ ἑρπετά· ἀπὸ τοῦ κατέχειν οὖν ἔχις.*

17) *Σελεύκου· Ζαγρεύς· ὁ μεγάλως ἀγρεύων· ὡς „πότνια γῆ Ζαγρεύς τε θεῶν πανυπέρτατε πάντων" ὁ τὴν Ἀλκμαιονίδα γράψας ἔφη* (Fr. 3 K.)· *τινὲς δὲ τὸν Ζαγρέα υἱὸν Ἅιδου φασὶν ὡς Αἰσχύλος ἐν Σισύφῳ* (Fr. 228 N²) *„Ζαγρεῖ τε νῦν μοι καὶ πολυξένῳ χαίρειν", ἐν δὲ Αἰγυπτίοις* (Fr. 5 N²) *οὕτως αὐτὸν τὸν Πλούτωνα καλεῖ. . . . . τὸν ἀγραῖον, τὸν πολυξενώτατον, τὸν Δία τῶν κεκμηκότων.*

18) *Σελεύκου· Ζωπυρεῖν· κυρίως τὸ τοὺς ἄνθρακας φυσᾶν, ὡς τὸ „⟨ὦ⟩ τρισκατάρατε ζωπύρει τοὺς ἄνθρακας". Μένανδρος ἐν Ἀρρηφόρῳ* (Fr. 71 K).

19) *Σελεύκου· Ἠϊών· ὁ αἰγιαλός· ἤτοι ὅτι ἀκούομεν ἐκεῖ τῶν κυμάτων [(ἀπὸ τοῦ ἰέναι)] ἀρασσομένων, οἷον αἰόνα ἀντὶ τοῦ ἠϊόνα Δωρικῶς· ⟨ἢ⟩ παρὰ τὸ ἀπόρευτον τῆς θαλάσσης· ⟨ἢ ἀπὸ τοῦ ἰέναι⟩· μέχρι γὰρ αὐτοῦ ἴησιν ἡ θάλασσα· τάχα δὲ ἀπὸ τοῦ αἰονᾶν, ⟨ὅπερ⟩ λέγουσιν ἐπὶ τοῦ καταντλεῖν, αἰόνα εἰκότως· μέμνηται δὲ τοῦ αἰονᾶν καὶ Ἱπποκράτης. καὶ εἰς τὸ Αἱματόεσσα.*

20) *Σελεύκου· Ἠλακάτη· τὸ τῶν γυναικῶν ἐργαλεῖον, εἰς ὅπερ ἐλίσσουσι τὸ ἐρίον, παρὰ τὸ ἑλίσσειν· ἢ ἀπὸ τῆς εἰλήσεως τοῦ ἐρίου·*

---

1. *ἀπὸ τοῦ* bis *ὡς* fehlt *A.* *ὡς*] *καὶ B.* 2. *τῆς ἑώας B.* 8. Ich las *τροΐας* . . . . $\overset{\alpha\varsigma}{\nu}$ . . . . *τρῶας* d, vgl. An. Ox. II 484, 21. 10. *εὖρος* d, vielleicht *εὔρους*? 12—15. Die entsprechende Gl. des Genuinum ist durch eine Mittelquelle z. T. aus einem vollständigeren Seleukos-Text genommen. 13. *στρογγυλούμενον* d. 17. *ᾠὸν καὶ τέλεια* d. 19. Sigle sehr verblichen d 21. Vor *υἱὸν* Rasur eines Buchstaben d. 22. *σκύφῳ* d. 23. Ohne Lücke d. 24. *τὸν διὰ* d. 34—160, 6. Benutzt von

ἢ καὶ ἀπ' αὐτοῦ τοῦ σκεύους· στρέφεται γάρ· Ὅμηρος ἐπὶ μὲν τῶν ἐρίων „ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι“ (Od. 6, 306), ἐπὶ δὲ τοῦ σκεύους „ἠλακάτη τετάνυστο ἰοδνεφὲς εἶρος ἔχουσα“ (Od. 4, 135). ἡ δὲ Ἄρτεμις χρυσηλάκατος οὐκ ἀπὸ τοῦ τόπου ἀλλ' ἀπὸ τῶν βελῶν καθ' ὁμοιότητα ὄντων ἠλακάτης· ἢ ὅτι τοῦτο [(ἠλάκατον)] τῆς θεοῦ τὸ βέλος.

21) Σελεύκου· Ἡρακλῆς· τινὲς ⟨ὅτι⟩ παρὰ τὸ ἦρα, ὅ ἐστιν ἐπικουρίας χάριν, ⟨διὰ τὸ⟩ ἐπικουρεῖν τῷ βίῳ τὸ κλέος ἔσχεν· τινὲς μὲν γὰρ αὐτὸν Ἀλκαῖον ἐκάλουν ὁμώνυμον τῷ πάππῳ, οἱ δὲ ἐπεὶ ἄλκιμος ἦν, κυριολογίᾳ χρώμενοι. πάλιν δέ τινες, ὅτι διὰ τὴν Ἥραν κλέος ἔσχεν· οἱ δὲ ⟨παρὰ⟩ τὸν ἀέρα, οἱονεὶ ἀέριον κλέος ἐσχηκώς, τουτέστιν μέγα καὶ περιβόητον.

22) Σελεύκου· Θέναρ· τὸ κοῖλον τῆς χειρὸς ἢ τοῦ ποδός, διὰ τὸ σθένειν· δι' αὐτοῦ γὰρ πάντα γίνεται· ἢ παρὰ τὸ θένειν αὐτῷ ἐν τοῖς γυμνασίοις. d. — Θέναρ· τὸ κοῖλον τῆς χειρός· παρὰ τὸ σθένος· ἢ θέσεως ἐστὶ χωρίον, εἰς ὃ ἐντίθενται τὰ διδόμενα· ἢ παρὰ τὸ θένειν τὸ τύπτειν γίνεται θέναρ. *AB*.

23) Σελεύκου· Θεός· Ἀπολλόδωρος ἀπὸ τοῦ θεῖν· τινὲς ἀπὸ τῆς θερμότητος· ὁ δὲ Ἀπολλόδωρος καὶ ἀπὸ τοῦ αἴτιον εἶναι τοῦ θεᾶσθαι διὰ τὴν αὐγὴν τοῦ ἡλίου καὶ τῆς σελήνης. οἱ δὲ ἀπὸ τῆς θερμότητος λέγουσιν ἀπὸ τοῦ θεοῦ ἄρχεσθαι τὸν θάνατον ψυχρὸν ὄντα κατὰ ἀντίφρασιν, ὡς καὶ Θερμοῦθιν τὸ ἱερὸν Αἰγυπτίων· ψυχροποιὸν γάρ.

24) Σελεύκου· Ἰάλεμος· ἄνανδρος· καὶ ὁ θρῆνος, ὁ ἐπὶ τοῖς ὀλωλόσιν ἰὰν φέρων, ὅ ἐστι φωνήν. d. . . . ἐν ἄλλοις δὲ εὗρον ἐγὼ τὸ ἰάλεμος ἐπὶ τοῦ θρήνου ἐτυμολογούμενον παρὰ τὸ ἐπὶ τοῖς ὀλωλόσιν ἰὰν φέρειν. *AB*.

25) Σελεύκου· Ἰάμβη· τινὲς ὅτι Ἰάμβη Ἠχοῦς καὶ Πανὸς θυγάτηρ. . . . τὴν Δήμητραν δὲ λυπουμένην παίζουσα καὶ ἀχρηστολογοῦσα καὶ σχήματα ἄχρηστα ποιοῦσα ἐποίησε γελάσαι.

26) Σελεύκου· Ἰατρική· ἐστὶ κατὰ παρέμπτωσιν τοῦ ρ̄, ὡς κέντρον· ἀπὸ τοῦ κεντεῖν ⟨κέντον καὶ⟩ κέντρον.

27) Σελεύκου· Ἱερὸν ὀστοῦν· κυρίως τὰ κατὰ τὴν ὀσφὺν τῶν ἱερείων ὀστέα δ' · ταῦτα ⟨γὰρ⟩ ἐπετίθεσαν ⟨ἐν⟩ ταῖς θυσίαις· οἱ δέ, ὅτι

Porphyrios zu Homer Il. 6, 491, vielleicht aus περὶ τῆς ἐν συνωνύμοις διαφορᾶς 1. στέφεται d. 2. ἠλακατοστρόφωσ d 3. ἦρος d 4. τύπου später d¹. 5. ὁμοίωσιν ὄντων ἠλακάτη d. 7—12. Benutzt von Choirob. zu Theod. I 186, 8 ff. (= Etym. Genuin.). 7. τὸ (vor ἦρα) zu τὴν d¹. 8. nach χάριν d¹ ὅτι über der Zeile ἐπικουρεῖν Kaibel ἐπίκουρον d 13. ἢ τοῦ ποδός ausradiert d. 14. σθένειν αὐτὸ d (vgl. Ekl. An. Ox. II 449, 11 θένεσθαι). 19. ἀπὸ τοῦ αἰτίου d. 20. θεάσασθαι d. διὰ τὴν αὐγὴν in d ausradiert (dafür τὴν ἀκτῖνα d¹ oder d²). 21. 22. von θεός kommt das Wort θάνατος Kaibel ἄρχοντα d 27. φέρων *AB* 29. Ohne Lücke d. 31. 32. ὡς τὸ κέντρον d¹ oder d² nachträglich. 32. κέντρον von d¹ durchstrichen.

φησὶν . . . . . „ἡ ὀσφὺς πρώτη φύεται τῶν ζῴων· ὅθεν τὰ ἑκατέρωθεν τῆς τρόπιος ἀμφιμήτρια λέγουσιν ἀπὸ τῆς μήτρας“. τινὲς δὲ τὸ μέγα ὀστοῦν.

28) *Σελεύκου· Ἰλεύς· ὁ Αἴαντος πατήρ· ἐτυμολογεῖται ὑφ' Ἡσιόδου* (Fr. 142 Rz.) *„Ἰλέα· τόν ῥ' ἐφίλησεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων καί οἱ τοῦτ' ὀνόμην' ὄνομ' ἔμμεναι, οὕνεκα νύμφην εὑράμενος ἵλεων μίχθη ἐρατῇ φιλότητι ἤματι τῷ, ὅτε τεῖχος ἐυδμήτοιο πόληος ὑψηλὸν ποίησε Ποσειδάων καὶ Ἀπόλλων“. ταῦτα παρατίθεται ἐν δ' Σιμωνίδου.*

29) *Σελεύκου· Ἰλλάδες· σχοινία ἐξ ἱμάντων· ἀπὸ τοῦ εἰλῆσθαι. Ὅμηρος· „ἰλλάσιν οὐκ ἐθέλοντα“* (Il. 13, 572).

30) *Σελεύκου· Ἵμερος· † Δωρικῶς. τὰ γὰρ ἄνθη λέγεται ἵμερα, ἐπεὶ ἐν τῷ ἔαρι τὰ ἄνθη φύεται, ὅτε καὶ τὰ ἐρωτικὰ θερμότερά ἐστιν· τούτου χάριν καὶ ὁ Ἀλκαῖος* (Fr. 13 b B[4]) *Ζεφύρου καὶ Ἴριδος τὸν Ἔρωτά φησιν· ἵμερος δὲ ἀπὸ τοῦ ἵεσθαι ⟨ἐν τῷ⟩ ποθεῖν. Λύκιοι δὲ ἐαρινοὺς θεοὺς Ἀφροδίτην καὶ Ἔρωτα καὶ τὰς Νύμφας καλοῦσιν.*

31) *Σελεύκου· Ἰνίον· ἀπὸ τοῦ διήκειν ἀπὸ τῆς τοῦ ἐγκεφάλου βάσεως τὰ πλατέα νεῦρα, ἃ δὴ τὴν ἰσχὺν ἡμῶν ἔχειν δοκεῖ.*

32) *Σελεύκου· Ἰόβακχος· ὁ ἐν τῷ ἰέναι βακχεύων.*

33) *Σελεύκου· Ἴουθος· ἡ ⟨πρώτη⟩ ἔκφυσις τῶν τριχῶν· ἡ δὲ ὀνομασία ἀπὸ τοῦ εἰς τὰ ἄνω ἰέναι τὴν τρίχα ὡς ἄνθος βλαστάνουσαν.*

34) *Σελεύκου· Ἱπποθόων· ὁ Ἀλόπης τῆς Κερκυόνος, ὅτι λάθρᾳ αὐτὸν ἐκ Ποσειδῶνος κυήσασα ἐξέθηκεν, ἵππος δὲ αὐτὸν ἔθρεψεν.*

35) *Σελεύκου· Ἴτριον· ἀπὸ τοῦ ἰέναι· ἐπὶ λεπτὸν γὰρ ἕλκεται.*

36) *Σελεύκου· Κάλυμνος· ὁ ἐν Αἰγύπτῳ σῖτος, ἀντὶ τοῦ Καλύδνιος· ὁ γὰρ Φιλάδελφος ἐκ Καλυδνῶν μετήνεγκε τὸ σπέρμα· „νήσους τε Καλύδνας“* (Il. 2, 677), *ἃς ὁ Ἀπολλόδωρός φησιν λέγεσθαι Καλύδνας ὡς καλύβας.*

37) *Σελεύκου· Καλυψώ· ἡ μὴ ἁπλῆ, καλύπτουσα δὲ τὸ διανοούμενον· διὸ καὶ Ὅμηρος „ἔνθα μὲν Ἄτλαντος θυγάτηρ, δολόεσσα*

1. Ohne Lücke **d**. 2. *ἀμφιμάτρια.* 4. 5. *ἐτυμολογεῖται ὥς φησιν Ἡσίοδος οἷον A B.* 6—9. *καί οἱ* bis *Σιμωνίδου* fehlt *B*. 6. Nach *καί οἱ* Rasur von drei Buchst. **d**. *ὀνόμην'* fehlt *A*. 7. *μίχθη ἐρατῇ*] *ὄχθη ἐρατεινῇ* **d**. 7—9. *ἐυδμήτοιο* bis *Σιμωνίδου* fehlt *A*. 10. *εἰλεῖσθαι A B.* 11. *Ὅμηρος* bis *ἐθέλοντα* fügen *A B* zu (*ὅμηρος* fehlt *A*). 13. *τὰ ἄνθη* gestrichen von **d**[1]. 14. *ἀλκμαῖος* **d**. 16. Nach *νύμφας* ausradiert *θεοὺς* **d**. 17. Nach *Ἰνίον* kleine Lücke **d**. 18. *δὴ* **d**[1] oder **d**[2] über der Zeile, derselbe später *ἡμῖν.* 20. Ergänzt aus Suidas. 20. 21. *ἡ δὲ ὀνομασία A B* **d**[x], fehlt **d**. 23. *Ἱππόθων* **d**, danach kleine Lücke. *Ἱππιόθων κερκυῶνος παῖς ὅτι A B* 24. *κύουσα* **d** 25. *ἐξέθρεψεν A B* und **d**[x]. 28. *καλύμνιος A B* **c** *καλύδνων* **c**, *καλυμνῶν B* 29. *τε* Sylb., $\overset{e}{\pi}$ = *περὶ A B* **c**. 32. *διὸ* nach *καὶ ὅμηρος* **c**. *διὸ* bis *θυγάτηρ* fehlt *A B.*

Καλυψώ" (Od. 7, 245)· *καὶ „αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται*" (Od. 1, 56).

38) *Σελεύκου· Καραδοκεῖν· τὸ τῇ κεφαλῇ προβλέπειν* [*(καὶ ἐλπίζειν)*] *ἐκδεχόμενον. μήποτε τὸ κέαρ ἔγκειται; ...... τὸ μὲν γὰρ καρηβαρεῖν ἢ τὸ καταβαρεῖσθαι τὴν κεφαλὴν ἢ* [*(παρὰ)*] *τὸ πάλλειν αὐτὴν ἀπὸ μέθης. Τιμαχίδης δὲ ἐν τῷ τοῦ Κόλακος ὑπομνήματι λέγει ὅτι σύνθετόν ἐστι τὸ κατωκάρα· ἐπιφέρει ⟨δὲ καὶ⟩ τὸ καραδοκεῖν. παρατίθεται δὲ ἐν ἄλλοις Δίφιλον λέγοντα ἐν Ἐμπόρῳ „τὴν νύκτ' ἐκείνην διεκαραδοκήσαμεν*" (Fr. 35 K.).

39) *Σελεύκου· Καρδία· ἀπὸ τοῦ κραδαίνεσθαι διὰ παντός.*

40) *Σελεύκου· Κελύφη· τὰ καλύμματα· ἀπὸ τοῦ καλύπτειν· ἔνθεν καὶ κάλυξ ἡ καλύπτουσα τὰ ῥόδα.*

41) *Σελεύκου· Κερδώ· ἡ ἀλώπηξ ὑποκοριστικῶς, ὡς παρ' Αἰσχύλῳ ἡ Εἰδὼ καὶ ἡ Ὑψὼ ἀντὶ τοῦ Εἰδοθέα καὶ Ὑψιπύλη· τὸ κερδὼ δὲ ἀντὶ τοῦ κερδαλέα, ἡ ἀπατηλή. ἢ ὡς παρὰ τὸ ⟨εἶδος καὶ ὕψος⟩ Εἰδὼ καὶ Ὑψώ, οὕτω καὶ παρὰ τὸ κέρδος κερδώ, ἡ κερδαλέα καὶ πανοῦργος.*

42) *Σελεύκου· Κέρτομος· ὁ τὸ κέαρ τέμνων τῶν ἀκουόντων διὰ τὸ παραλογιστικὸν τῶν λόγων.*

43) *Σελεύκου· Κτείς· ἡ τοῦ ποδὸς ἢ τῆς χειρός .... ἃς κτένας φαμέν.*

44) *Σελεύκου· Κεφαλή· ἀπὸ τοῦ κελύφους τοῦ περιέχοντος τὸν ἐγκέφαλον· ἢ ἀπὸ τοῦ ἐγκεφάλου. ἢ ἀπὸ τοῦ κεκυφῶσθαι, ὅ ἐστι κεκάμφθαι. ... καὶ οἱ ἰατροὶ σκάφιον αὐτὴν καλοῦσιν καὶ Ἱπποκράτης κύβιτον, Μακεδόνες δὲ κέβλην τὸ β ἀντὶ τοῦ φ λαμβάνοντες, ὡς ἐπὶ τῆς Βερενίκης· Φερενίκη γάρ ἐστιν.*

45) *Σελεύκου· Κηλεύς· παρὰ τὸ κηλεῖν καὶ τέρπειν· „κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα*" (Od. 11, 334).

46) *Σελεύκου· Κήρ· ἡ θανατηφόρος μοῖρα ἡ τὸ καῆναι ἐπιφέρουσα. καὶ ἐν Ἅιδῃ ποταμοὶ Πυριφλεγέθων καὶ Ἀχέρων.* [*(καὶ εἰς τὸ Καιριώτερον καὶ Μάκαρ καὶ Νεκρός)*].

---

1. 2. *καὶ αἰεὶ* bis *ἐπιλήσεται* fehlt *A B*. 1. *αἰεὶ δ' ἐν* c. 2. *θέλγειν* c. 3. 4. *καὶ ἐλπίζειν* fehlt *A B* v. 4. Ohne Lücke *A B* c v. 5. *ἢ τὸ*] *ἤτοι A B* v, *ἀντὶ τοῦ* c. *βάλλειν* Codd. 6. Nach *αὐτὴν* beginnt d. *A B* nur *Τιμ. δέ φησιν ὅτι.* 7. *ἐπιφέρειν A B.* 7—9. *παρατίθεται* bis *διεκαραδοκήσαμεν* fehlt *A B.* 8—9. *τὴν νύκτα ἐκείνην δι' ἐκείνην διεκαρανόμηνεν* d. 10. Lemma *Καρδία* oder *Κραδία* in d. 12. *τὰ ῥόδα*] *τὰ δῶρα B.* *οὕτως εὗρον* fügen *A B* hinzu. 13. 14. *ὡς παρ'* bis *Ὑψιπύλη* fehlt *B.* 15. *ἡ ἀπατητική* d² zwischen den Zeilen und *A B.* 15—17. *ἢ ὡς* bis *πανοῦργος* fehlt *A B.* 18. 19. *διὰ τὸ παραλογιστικὸν τῶν λ. A B, διὰ τῶν παραλογιστικῶν λ.* d. 20. *Κέτις* Codd. Ohne Lücke Codd. 23. *ἐγκεφάλου*] *φάλου*? 24 Ohne Lücke Codd. *κελύφη* = *σκάφιον, κύβιτον.* 25. *κύβιτον*] vgl. Bakcheios Erotian 84, 12. 27. *K.* Grofsvater des Laertes, Schol. Il. 2, 173. 631. 28. *σκιόεντα* fehlt *A B.* 29. *ἤτοι καῆναι A B, ἤτοι κακῆναι* d. 30. *καὶ εἰς* bis *Νεκρός* fehlt *A B*, stammt nicht aus Sel.

47) Σελεύκου· Κῆρυξ· γῆρύξ τις ὤν .... ἢ τῇ κινήσει ῥᾶον εὐχερής, ῥᾶον ὀξύς.

48) Σελεύκου· Κίρκη· ἡ κιρνῶσα τὰ φάρμακα· ἢ παρὰ τὴν κερκίδα, ἡ δὲ κερκὶς ἀπὸ τοῦ κρέκω· ⟨τοῦτο δὲ⟩ ἀπὸ τοῦ γινομένου ψόφου κατὰ μίμησιν. τὰς δὲ παιπαλώδεις γυναῖκας ἀπ' ἐκείνης Κίρκας καλοῦμεν, ἐπεὶ φαρμακὸς ἦν ἐκείνη.

49) Σελεύκου· Κλείς· κατακλείς· ἀπὸ τοῦ ἐγκεκλεῖσθαι μέχρι αὐτῆς τὰ ἐντός.

50) Σελεύκου· Κλῆρος· κυρίως ἡ γῆ, ὑπὲρ ἧς κλῆρος ἐγένετο· οἱ γὰρ πρῶτον διαμερισάμενοι τὴν γῆν εἰς διατροφὴν τὰς μερίδας ἔλαβον· νῦν δὲ πᾶσα ἡ οὐσία· ἐπίκληρος δὲ καὶ κληρονόμος ὁμοίως.

51) Σελεύκου· Κόρη· παρὰ τὸ χορεῖσθαι περισσότερον τῆς ἄλλης ἡλικίας, ὅπερ ἐστὶν ἐπιμελείας ἀξιοῦσθαι. ἔνθεν καὶ νεωκόρος καὶ κόρημα, τὸ σαροῦν, τὸ κοσμητήριον.

52) Σελεύκου· Κοτύλη· [(κράσεως μέτρον. ἢ)] ὁ γλουτός, ἀπὸ τῆς κοιλότητος.

53) [Σελεύκου· Κρίνον· ἀπὸ τοῦ] διακρίνειν λέγεται κρίνον, [εὐμάραντον ὑπάρχον καὶ ταχὺ διαπίπτον]. λέγεται κρίνον ἡ κολόκυνθα· ἐκ γὰρ τοῦ κρίνου γίνεται ἡ κολοκύντη .... ἀλλ' ἀποπίπτει ⟨ταχέως⟩· διὸ καὶ τοὺς πτωχοὺς καὶ νεκροὺς κρίνα λέγουσιν. αὐτὴ δὲ ἡ κολοκύντη Μηδικόν ἐστιν ὄνομα.

54) Σελεύκου· Κριτής· ὁ τοὺς ἐμπεπλεγμένους ἀλλήλοις διαχωρίζων· καὶ αἱ γυναῖκες κρῖναι τρίχας ἐπὶ τῶν ἐμπλοκῶν λέγουσιν τὸ διαχωρίσαι· καὶ τὸν κεχωρισμένον τοῦ πυρετοῦ κεκρίσθαι λέγομεν. Ὅμηρος „κρῖν' ἄνδρας“ (Il. 2, 362).

55) Σελεύκου· Κροκύφαντος· ὅτι διὰ κρόκης ὑφαίνεται· οἱ δὲ Ἀττικοὶ κεκρύφαλον αὐτὸν καλοῦσιν, ὅτι κρύπτει τὸν φάλον, ὅ ἐστιν ἐξοχὴ κορυφῆς.

56) Σελεύκου· Κυβήβη· ⟨κυβιστᾶν⟩ κυρίως τὸ ἐπὶ τὴν κεφαλὴν ῥίπτειν. Ὅμηρος „κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεγμόν τε καὶ ὤμους“ (Il. 5, 586). ἐπεὶ οἱ μανιώδεις περὶ τὴν κεφαλὴν ⟨τοῦ⟩ πάθους γενομένου τοιοῦτοι γίνονται. ὅθεν καὶ τὴν μητέρα τῶν θεῶν ἀπὸ

1. σι über φ von anderer Hand (?) d, also unsicher. Lücke erkannt v. Kaibel. 2. εὐχερές d. 3. 4. παρὰ τὸ κερκίδα d. 4. ἀπὸ τοῦ κρέκω fehlt A B. 5. παιπαλώδους zu -δεις d. 7. Κλείς Schulterblatt. — Lemma in A B Κατάκλεις· Κλεὶς καὶ κατάκλεις. 10. πρῶτοι d. 12. παρὰ τὸ καὶ νεᾶνιν χορεῖσθαι v. 13. ἐστὶν fehlt v. ἔνθεν] ὅθεν a. 14. σάρον Kaibel. 15. Sigle nur b (in a ist das Blatt verloren). κράσεως b c, κυρίως v. ἢ fehlt c. ὁ fehlt b v. 17. 18. Ergänzt aus c. 18. διαπίπτον διὸ λέγεται c 19. Ohne Lücke d. 20. 21. αὕτη δὲ d. 26. ὅτι διὰ fehlt B. 27. αὐτὸ καλοῦσι B. 28. ἐξοχὴν A B. 29. Κυβήβη aus Κυβήκη d[1], Κυβήβειν A B. 30. ῥίπτειν] κύπτον d, aber κυ und ο aus anderen Buchstaben. ἐπὶ bis ὤμους fehlt A B. 32. γινομένου A B.

τοῦ ἐνθουσιασμοῦ Κυβήβην λέγουσιν· αἰτία γὰρ ἐνθουσιασμοῦ τοῖς μύσταις γίνεται. ἔστι δὲ καὶ ἐν Φρυγίᾳ ἱερὸν μητρὸς θεῶν . . . . . .

57) *Σελεύκου· Κύβος· ὁ κυκλόθεν βάσιν ἔχων· ἢ πᾶς τετράγωνος ψῆφος· ὁ δὲ Ἀπολλόδωρος ἀπὸ τῆς κυφότητος. — τὰ γὰρ ἐπὶ τὴν κεφαλὴν κύψαντα [(κυλισθῆναι)] κυβιστῆσαι ἔλεγον. Ὅμηρος „κυβιστητῆρι ἐοικώς"* (vgl. Il. 12, 385).

58) *Σελεύκου· Κύλλαρος· ἵππος Κάστορος· παρὰ τὸ κέλλειν· ὁ ταχύς· Στησίχορος ἐν τοῖς ἐπὶ Πελίᾳ ἄθλοις τὸν μὲν Ἑρμῆν δεδωκέναι φησὶ τοῖς Διοσκούροις Φλόγεον καὶ Ἅρπαγον „ὠκέα τέκνα Ποδάργας", Ἥραν δὲ Ξανθὸν καὶ Κύλλαρον.*

59) *Σελεύκου· Κύρβεις· αἱ τὰς τῶν θεῶν ἑορτὰς ἔχουσαι· ἤτοι ἀπὸ τῆς κατασκευῆς· εἰσὶ γὰρ κυρβασίαι· ἢ κρύβεις, ἐπεὶ τὰ τῶν θεῶν ἀποκρυπτόμενα δεῖ εἶναι. Ἀσκληπιάδης δὲ ἐν τοῖς τῶν ἀξόνων ἐξηγητικοῖς ἀπὸ Κύρβεως τοῦ τὰς οὐσίας ὁρίσαντος· ⟨ἤ⟩, ὥς φησι Φανίης ὁ Ἐρέσιος, [(ἤ)] ἀπὸ τοῦ ταῦτα κυρωθῆναι τοῖς γράμμασιν· Ἐρατοσθένης δὲ τριγώνους αὐτάς φησιν εἶναι, οὐ τετραγώνους. Ἀριστοφάνης δέ φησιν ὁμοίας εἶναι τοῖς ἄξοσιν, πλὴν ὅτι οἱ μὲν ἄξονες νόμους αἱ δὲ κύρβεις οὐσίας ἔχουσιν. ἀμφοτέρων δὲ τετραγώνων τὸ κατασκεύασμα τοιοῦτον· πλινθίον τι μέγα ἀνδρομῆκες ἡρμοσμένα ἔχον τετράγωνα ξύλα τὰς πλευρὰς πλατείας ἔχοντα καὶ γραμμάτων πλήρεις, ἑκατέρωθεν δὲ κνώδακας ὥστε κινεῖσθαι καὶ μεταστρέφεσθαι ὑπὸ τῶν ἀναγινωσκόντων.*

60) *Σελεύκου· Λαμψακός· ὅτι τοῖς Λαμψακηνοῖς χρησμὸς ἐδόθη, ὅπου ἂν αὐτοῖς λάμψῃ, ἐκεῖ πόλιν κτίσαι. ἀστραπῆς οὖν γινομένης εἶδον τὸν τόπον καὶ ἔκτισαν τὴν πόλιν, Λαμψακὸν αὐτὴν προσαγορεύσαντες . . . . . . καὶ οὕτω τοὺς πολεμοῦντας αὐτοῖς λοχοποιήσαντας δι' ἀστραπῆς ἰδόντες κατέκοψαν αὐτούς.*

61) *Σελεύκου· Λαοί· ὁ μὲν Ἡσίοδος „τούς ῥά ποτε Κρονίδης*

---

